# ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ

Σελίς -814 - 815

(931) (Δημόκριτος Ἱπποκράτει εὖ πράττειν)'Επῆλθες ἡμῖν ὡς
μεμηνόσιν,ὦ Ἱππόκρατες,ἐλλέβορον δώσων,πεισθείς ἀνοήτοις
ἀνδράσι,παρ'οἷς ὁ πόνος τῆς ἀρετῆς μανίη κρίνεται.ἐτυγχάνομεν
δέ τότε περί κόσμου διαθέσεως καί πολογραφίης,ἔτι δέ ἄστρων
οὐρανίων ξυγγράφοντες.γνώσας δέ τήν ἐπί τούτοις φύσιν,ὡς εὐ-
καίρως κάρτα εἴη ἐπιδεδημιουργημένα καί ὡς τηλοῦ μανίης καί
παραφρονήσιος καθέστηκεν,ἐμοῖο μέν φύσιν ἐπηνεσας//ἄφρονας
δέ καί ἀπηνέας καί μεμηνότας κείνους ἔκρινας.ὁκάσα γάρ ἴν-
δαλμοῖς διαλλάττοντα ἀνά τόν ἠέρα πλάζει ἡμέας,ἅ δή κόσμος
ξυνορᾶται καί ἀμείβοντα τέτευχε,ταῦτα νόος ἐμός φύσιν ἐρευ-
νήσας ἀστρεκέως,εἰς φῶς ἤγαγεν,μάρτυρες δε τουτέων βί(932)βλοι
ὑπ'ἐμοῖο γραφεῖσαι χρή οὖν καί σέ,ὦ Ἱππόκρατες,μή τοιουτο-
τρόποισιν ἀνδράσιν ξυνέρχεσδαι καί ξυνομιλέειν,ὧν νόος ἀκρό-
πλοος καί ἀβέβαιος καθέστηκεν.εἰ γάρ τοι πεισθείς ὡς μεμηνό-
τα με ἐπότισας ἐν ἐλλεβόρῳ,ἡ πινυτή μανίη ἄν ἐγεγόνει,καί σέο
τέχνην κατεμέμψατο,ὥσπερ αἰτίην παρακοπῆς γεγενημένην.ἐλλέβο-
ρος γάρ ὑγιαίνουσι μέν δοθείς ἐπισκοτεῖ διάνοιαν,μεμηνόσι δέ
καρτα ὠφελεῖν εἴωθεν.φήθην γάρ εἰ μή κατειλήφεις μέ γρά(26)
φοντα,ἀνακείμενον δέ ἤ σχεδόν περιπατοῦντακαί προσομιλέοντα
ἐμαυτῷ ὁτέ μέν δυσχεραίνοντα,ὁτέ δέ μειδιῶντα ἐπί τοῖς ἐννο-
ουμένοις ὑπ'ἐμοῖο,καί τοῖς προσομιλέουσι τῶν γνωρίμων,οὐ προ-
σέχοντα,ἐφιστάντα δέ τήν διάνοιαν καί σκεπτόμενον ἐκπάγλως φή-
θης ἄν Δημόκριτον,κατά γε ὄψιος κρίσιν ἐκ τῶν ὁρεομένων,μανίης
εἰκόνι ἐοικέναι.χρή οὖν τόν ἰητρόν μή μόνον ὄψει τά πάθει κρίνειν
ἀλλά πρήγματι.τούς τε ρυθμούς ἀνακρίνειν ὡς ἐπιτοπλεῖστον καί
πρότερον ἄρχοιτο τό πάθος ἤ μεσάζοι ἤ λήγοι,καί διαφορήν καί ὥρην
καί ἡλικίην παρατηροῦντα ἰητρεύειν τό πάθος,οὐλομελίην τε τοῦ
σκήνεος.ἐκ γάρ τουτέων ἁπάντων εὐχερῶς τήν νοῦσον εὑρήσεις
ἀπέσταλκα δέ σοι τόν περί μανίης λόγον . ερρωσο.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ

Σελίς -814 - 815

(931) (Δημόκριτος Ἱπποκράτει εὖ πράττειν)'Επῆλθες ἡμῖν ὡς
μεμηνόσιν,ὦ Ἱππόκρατες,ἐλλέβορον δώσων,πεισθείς ἀνοήτοις
ἀνδράσι,παρ'οἷς ὁ πόνος τῆς ἀρετῆς μανίη κρίνεται.ἐτυγχάνομεν
δέ τότε περί κόσμου διαθέσεως καί πολογραφίης,ἔτι δέ ἄστρων
οὐρανίων ξυγγράφοντες.γνώσας δέ τήν ἐπί τούτοις φύσιν,ὡς εὐ-
καίρως κάρτα εἴη ἐπιδεδημιουργημένα καί ὡς τηλοῦ μανίης καί
παραφρονήσιος καθέστηκεν,ἐμοῖο μέν φύσιν ἐπῄνεσας//ἄφρονας
δέ καί ἀπηνέας καί μεμηνότας κείνους ἔκρινας.ὁκόσα γάρ ἰν-
δαλμοῖς διαλλάττοντα ἀνά τό ἤερα πλάζει ἡμέας,ἅ δή κόσμος
ξυνορᾶται καί ἀμείβοντα τέτευχε,ταῦτα νόος ἐμός φύσιν ἐρευ-
νήσας ἀτρεκέως,εἰς φῶς ἤγαγεν,μάρτυρες δε τουτέων βί(932)βλοι
ὑπ'ἐμοῖο γραφεῖσαι χρή οὖν καί σε,ὦ Ἱππόκρατες,μή τοιουτο-
τρόποισιν ἀνδράσιν ξυνέρχεσθαι καί ξυνομιλέειν,ὧν νόος ἀκρό-
πλοος καί ἀβέβαιος καθέστηκεν.εἰ γάρ τοι πεισθείς ὡς μεμηνό-
τα με ἐπότισας ἐν ἐλλεβόρῳ,ἡ πινυτή μανίη ἄν ἐγεγόνει,καί σέο
τέχνην κατεμέμψατο,ὥσπερ αἰτίην παρακοπῆς γεγενημένην.ἐλλέβο-
ρος γάρ ὑγιαίνουσι μέν δοθείς ἐπισκοτεῖ διάνοιαν,μεμηνόσι δέ
κάρτα ὠφελεῖν εἴωθεν.φῆθην γάρ εἰ μή κατειλήφεις μέ γρά(26)
φοντα,ἀνακείμενον δέ ἤ σχεδόν περιπατοῦντα καί προσομιλέοντα
ἐμαυτῷ ὁτέ μέν δυσχεραίνοντα,ὁτέ δέ μειδιῶντα ἐπί τοῖς ἐννο-
ουμένοις ὑπ'ἐμοῖο,καί τοῖς προσομιλέουσι τῶν γνωρίμων,οὐ προσ-
έχοντα,ἐφιστάντα δέ τήν διάνοιαν καί σκεπτόμενον ἐκπάγλως φῆ-
θης ἄν Δημόκριτον,κατά γε ὄψιος κρίσιν ἐκ τῶν ὁρεομένων,μανίης
εἰκόνι ἐοικέναι.χρή οὖν τόν ἰητρόν μή μόνον ὄψει τά πάθει κρίνειν
ἀλλά πρήγματι.τούς τε ρυθμούς ἀνακρίνειν ὡς ἐπιτοπλεῖστον καί
πρότερον ἄρχοιτο τό πάθος ἤ μεσάζοι ἤ λήγοι,καί διαφορήν καί ὥρην
καί ἡλικίην παρατηροῦντα ἰητρεύειν τό πάθος,οὐλομελίην τε τοῦ
σκήνεος.ἐκ γάρ τουτέων ἁπάντων εὐχερῶς τήν νοῦσον εὑρήσεις
ἀπέσταλκα δέ σοι τόν περί μανίης λόγον . ἔρρωσο.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ